Λυ. Ἵνα τἀργύριον σῶν παρέχωμεν καὶ μὴ πολεμῆτε δι' αὐτό. A

Πρ. Διὰ τἀργύριον πολεμοῦμεν γάρ; Λυ. καὶ τἄλλα τε πάντ' ἐκυκήθη,

Ἵνα γὰρ Πείσανδρος ἔχοι κλέπτειν χ' οἱ ταῖς ἀρχαῖς ἐπέχοντες

Ἀεί τινα κορκορυγὴν ἐκύκων. οἱ δ' οὖν τοῦδ' εἵνεκα δρώντων

Ὅ τι βούλονται. τὸ γὰρ ἀργύριον τοῦτ' οὐκέτι μὴ καθέλωσιν. B

Πρ. Ἀλλὰ τί δράσεις; Λυ. τοῦτό μ' ἐρωτᾷς; ἡμεῖς ταμιεύσομεν αὐτό.

Πρ. Ὑμεῖς ταμιεύσετε τἀργύριον; Λυ. τί δεινὸν τοῦτο νομίζεις;

Οὐ καὶ τἄνδον χρήματα πάντως ἡμεῖς ταμιεύομεν ὑμῖν;

Πρ. Ἀλλ' οὐ ταὐτόν. Λυ. πῶς οὐ ταὐτόν; Πρ. πολεμητέον ἔστ' ἀπὸ τούτου. C

Λυ. Ἀλλ' οὐδὲν δεῖ πρῶτον πολεμεῖν. Πρ. πῶς γὰρ σωθησόμεθ' ἄλλως;

Λυ. Ἡμεῖς ὑμᾶς σώσομεν. Πρ. ὑμεῖς; Λυ. ἡμεῖς μέντοι. Πρ. σχέτλιόν γε.

Λυ. Ἀλλ' ἀποδεικτέα ταῦτ' ἐστὶν ὅμως. Πρ. νὴ τὴν Δήμητρ' ἄδικόν γε.

Λυ. Σωστέον ὦ τᾶν. Πρ. κεἰ μὴ δέομαι; Λυ. τοῦδ' εἵνεκα πολὺ μᾶλλον.

Πρ. Ὑμῖν δὲ πόθεν περὶ τοῦ πολέμου τῆς τ' εἰρήνης ἐμέλησεν; D

Λυ. Ἡμεῖς φράσομεν. Πρ. λέγε δὴ ταχέως ἵνα μὴ κλάῃς. Λυ. ἀκροῶ δή,

Καὶ τὰς χεῖρας πειρῶ κατέχειν. Πρ. ἀλλ' οὐ δύναμαι. χαλεπὸν γὰρ

Ὑπὸ τῆς ὀργῆς αὐτὰς ἴσχειν. Λυ. κλαύσει τοίνυν πολὺ μᾶλλον.

Πρ. Τοῦτο μὲν ὦ γραῦ σαυτῇ κρώξαις, σὺ δέ μοι λέγε. Λυ. Ταῦτα ποιήσω. E

*LVS. Seruemus vt argentum, nec propterea mala bella geratis.*

*PR. Quid? an argentum caussa est belli? LVS. Quin omnia cætera turbat,*

*Pisander enim Prætoresque vt quo furarentur haberent,*

*Turbas semper mouere aliquas: nunc propter id incipiant hi*

*Quicquid libeat facere? argentum aufferri amplius haud patiemur.*

*PR. Quid facies ergo? LVS. Rogas? nos scilicet adseruabimus illud.*

*PR. Vos asseruabitis argentum? LVS. Quid dicitis inesse pericli?*

*Nonne bona domestica opesque intus vobis seruare solemus?*

*PR. Haud eadem res. LVS. Cur non eadem? PR. Namque hinc est belligerandum.*

*LVS. At nil opus est belligerare. PR. vnde igitur saluabimur omnes?*

*LVS. Nos vestra salus erimus. PR. vos? LVS. nos certè. PR. Miserum hoc equidem esset.*

*LVS. Tamen hæc conditio accipienda est. PR. Haud certe iure, nec æquum est.*

*LVS Quærenda salus. PR. si non placet? LVS. hoc ideò est mage solicitanda.*

*PR. Sed quid vos tantopere pacem & bellum curare coegit?*

*LVS. Age dicemus. PR. properatò opus est, ne plores. LVS. admoueo aurem*

*Conorque manus inhibere. PR. at vix ego possum, nam quis in ira*

*Sibi temperet? LVS. Ergo tantò magis ipsum te flere iubebo.*

*PR. O vetula tibi hoc crocita, mihique illa edissere. LVS. Iam faciam istud:*

BISETVS. Καὶ μὴν αὐτοῖς.] ὁ Πρόβουλος κατὰ τὴν τῶν ἀνδρῶν χοροῦ παραίνεσιν, περὶ τῶν βασάνων καὶ πάντων ἐλέγχων κατὰ τῶν γυναικῶν ἔργῳ ἐπιμελῶς ἐπιχειρεῖ. εἰσὶ δὲ στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ Ἀριστοφάνειοι καλούμενοι. ὡς καὶ οἱ προηγούμενοι δύο. Ἀλλ' ἀνερώτα. καὶ τὰ ἑξῆς. Ἵνα τἀργύριον.] τὸ πλῆρες, ἵνα τὸ ἀργύριον σῶον παρέχωμεν. ἵνα τὰ χρήματα σώσωμεν, καὶ σῶα φυλάξωμεν. τὸ δὲ σῶν μονοσύλλαβον ἀντὶ τοῦ σῶον, ἤγουν ὑγιὲς, καὶ τέλειον, εἴτουν ἀνελλειπές. περισπᾶται δὲ, ὅτι ἐκ τοῦ σάον, ἢ σόον συνῄρηται. Πείσανδρος.] οὗτος γὰρ δειλὸς ἦν, φιλοπόλεμος δὲ, καὶ πολεμοποιὸς κερδῶν ἰδίων ἕνεκα. Σ. Ταῖς ἀρχαῖς ἐπέχοντες.] ἐπέχοντες, τουτέστι προσέχοντες. τῶν ἀρχῶν ἐπιθυμοῦντες, καὶ ταῖς ἀρχαῖς ἐπικείμενοι, αὐτῶν τυχόντες, ἀσφαλέστερον, καὶ ἀδεέστερον κλέπτειν ἔχοιεν. κορκορυγὴν ἐκύκων, τινὰς ταραχὰς ἐκίνουν. κορκορυγὴ γὰρ, ταραχὴν, βοὴν, κραυγὴν, καὶ θόρυβον δηλοῖ. Σ. Ἡσύχ. δρώντων δὲ, δράτωσαν. Ἀττικὸν σχῆμα. Ταμιεύσομεν.] ταμίαι δέκα τὸν ἀριθμὸν ἄρχοντες ἦσαν Ἀθήνησι κληρωτοὶ ἀπὸ πεντακοσιομεδίμνων, οἳ τὰ ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἐν ἀκροπόλει χρήματα ἱερά τε, καὶ δημόσια ἐφύλαττον. ἀλλὰ καὶ αὐτὸ τὸ ἄγαλμα τῆς Ἀθηνᾶς. Σ. καὶ ταμιεύειν, διοικεῖν, φυλάττειν. σχέτλιον δὲ, ἄτοπον, ἄδικον, οὐκ ἀνεκτόν. Ἀποδεικτέα.] ἀντὶ τοῦ ἀποδεικτέον ἑνικῶς. ἀκροῶ, δὴ, ἄκουσον. ἀκροᾶσθαι γὰρ, ἀκούειν. ὅθεν ἀκρόασις, καὶ ἀκροατής.

CHR. Τοῖς μοχλοῖς] Puto legendum τοῖσι μοχλοῖσι, & iungenda hæc duo vocabula cum præcedenti versu, vt versum vnicum Aristophanicū faciant. Mox lego cum Venet. edit. ἀργύριον γῶν παρέχοιμεν, non σῶν παρέχωμεν, est autem γῶν pro γοῦν. Κορκορυγὴν ἐκύκων.] Id est, ταραχὰς ἐκίνουν. Sic in Pace vsus est, & ipsam pacem Lysimacham vocat. Σωθησόμεθ' ἄλλως] Lege σωθησόμετ' ἄλλως, vt versus sit ἔμμετρος. Mox pro ἀποκτέα ταῦτα lege ἀποδεικτέα, Atticè pro ἀποδεικτέον, & sic legitur in Veneto exemplari. τοῦ δ' εἵνεκα πολὺ μᾶλλον.] Legerem potius τοῦ δ' εἵνεκα καὶ πολὺ μᾶλλον. Et puto veram esse hanc lectionem, vt τὸ καὶ omissum propter præcedentem syllabam κα errori ansam dederit.

BISETVS. Τοῦτο μὲν ὦ γραῦ σαυτῇ κρώξαις.] ἀπὸ μεταφορᾶς τῶν ὀρνέων τῶν δυσοιωνίστων. κρώζειν δὲ κυρίως οἱ κόρακες καὶ αἱ κορῶναι λέγονται. ὅθεν καὶ κρωγμὸς τὸ μίμημα τῆς φωνῆς τῶν κοράκων. νῦν δὲ κρώζειν ἐπὶ τῶν μάτην θρυλλούντων ὡς αἱ κορῶναι.

CH.